## 1

1 Ἐβουλόμην μέν, ὦ ἄνδρες δικασταί, μὴ λίαν οὕτως Ἁγνόθεον πρὸς χρήματ᾽ ἔχειν αἰσχρῶς ὥστε τοῖς ἀλλοτρίοις ἐπιβουλεύειν καὶ δίκας τοιαύτας λαγχάνειν, ἀλλ᾽ ὄντα γε οὖν ἀδελφιδοῦν ἐμὸν καὶ κύριον τῆς πατρῴας οὐσίας, οὐ || μικρᾶς, ἀλλ᾽ ἱκανῆς ὥστε καὶ λῃτουργεῖν, ὑφ᾽ ἡμῶν αὐτῷ παραδοθείσης, ταύτης ἐπιμελεῖσθαι, τῶν δ᾽ ἐμῶν μὴ ἐπιθυμεῖν, ἵνα βελτίων τ᾽ ἐδόκει πᾶσιν εἶναι σῴζων αὐτὴν καὶ πλείω ποιῶν χρησιμώτερον ὑμῖν πολίτην παρεῖχεν ἑαυτόν. 2 Ἐπεὶ δὲ τὴν μὲν ἀνῄρηκε καὶ πέπρακε καὶ αἰσχρῶς καὶ κακῶς διολώλεκεν, ὡς οὐκ ἂν ἐβουλόμην, πιστεύων δ᾽ ἑταιρείαις καὶ λόγων παρασκευαῖς ἐπὶ τὴν ἐμὴν ἐλήλυθεν, ἀνάγκη, ὡς ἔοικε, συμφορὰν μὲν εἶναι νομίζειν ὅτι τοιοῦτός ἐστιν οἰκεῖος ὤν, ἀπολογεῖσθαι δὲ περὶ ὧν ἐγκέκληκε καὶ ἔξω με τοῦ πράγματος διαβέβληκεν, ὡς ἂν οὖν δυνώμεθα προθυμότατα πρὸς ὑμᾶς.

## 2

1 Πόθεν χρὴ πιστεύεσθαι τὰ εἰρημένα πρὸς θεῶν ; Οὐκ ἐκ τῶν μαρτύρων ; Οἴομαί γε. Πόθεν δὲ τοὺς μάρτυρας ; Οὐκ ἐκ τῶν βασάνων ; Εἰκός γε. Πόθεν δέ γε ἀπιστεῖσθαι τοὺς λόγους τοὺς τούτων ; Οὐκ ἐκ τοῦ φεύγειν τοὺς ἐλέγχους ; Ἀνάγκη μεγάλη. Φαίνομαι τοίνυν ἐγὼ μὲν διώκων ταῦτα καὶ τὰ πράγματα εἰς βασάνους ἄγων, οὗτος δὲ ἐπὶ διαβολὰς καὶ λόγους καθιστάς, ὅ περ ἂν τις πλεονεκτεῖν